www.tezaurliturgic.ro

**Ἱλαρίωνος Μοναχοῦ**

# Κανὼν εἰς τοὺς Ἁγίους καὶ πανευφήμους Ἀποστόλους τοὺς ΙΒ΄

Ἦχος α΄

Ἅγιον Ὄρος

2018

ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Ἕτερος εἰς τοὺς Ἁγίους καὶ πανευφήμους Ἀποστόλους τοὺς ΙΒ΄ οὗ ἡ ἀκροστιχίς, «Ἀποστόλων Ἰησοῦ μνήμην μέλπω», ἐν δὲ τοῖς Θεοτοκίοις, «Ἱλαρίων Μ.» Ἦχος α΄

*ᾨδὴ Α΄ Ἀναστάσεως ἡμέρα.*

Ἀποστόλων τῶν ἐνδόξων τὴν φαιδρὰν ἑορτήν, ᾄσμασι θεηγόροις, καταστολίσωμεν πιστοί, δωδεκάδος ἀπαρχήν, Χριστοῦ τοῦ Θεοῦ, τοῦ Λόγου τοὺς κήρυκας, τῆς Τριάδος ἡδύσματα.

Πανηγύρεως ἡμέρα χαῖρε νύμφη Χριστοῦ, πιστῶν ἡ Ἐκκλησία, καὶ σὺ φαιδρῶς Βηθσαϊδᾶ, περιχόρευε ὁμοῦ, τοῦ Πέτρου σεπτήν, ἐνθέοις ἐν ᾄσμασι, ἑορτὴν καταστέφουσαι.

Ὁ τῶν κάτω ὑπερόπτης ἐκλογῆς τοῦ Χριστοῦ, σκεῦος ἀνευφημείσθω, ὁ λιθασμοῖς καὶ τοῖς δεσμοῖς, ὁμιλήσας καὶ χοροῖς, τοῖς ἄνω ἡμῖν, οὐράνιον προὔθηκε, πανδαισίαν ἑόρτιον.

*Θεοτοκίον.*

Ἱλαρὸν γὰρ δότην ὥσπερ, τὸ τοῦ Παύλου φησί, στόμα Ἁγνὴ Παρθένε, φιλεῖ Θεὸς οὕτω κᾀμοῦ, τοῦ Ἀγγέλου τὴν φωνὴν προσδέχου σεμνή, τὸ χαῖρε θεόνυμφε, ἱλαρῶς προσφθεγγόμενον.

*ᾨδὴ Γ΄ Δεῦτε πόμα.*

Σάλπιγγες εὐήχοις ἐν ᾠδαῖς, θεολόγων κροτείτωσαν τὴν πανέορτον, τοῦ ὑψιπέτου υἱοῦ, Μητρὸς τῆς τοῦ Λόγου τοῦ Θεοῦ, μνήμην τὴν χαρμόσυνον.



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Τὸν τοῦ Πέτρου σύγγονον χορός, δωδεκάδος τὸν πρῶτον, αὔχει τῆς κλήσεως, τῶν φιλεόρτων ᾠδαῖς, ἐνθέοις Ἀνδρέαν οἱ χοροί, καὶ ᾄσμασι μέλψωμεν.

Ὁ ὁμαίμων γόνου τῆς βροντῆς, ὁ θερμῶς τὸ τοῦ Λόγου πιὼν ποτήριον, ἐν ὑμνωδίαις φαιδρῶς, γεραίρεσθαι γλώσσαις τῶν πιστῶν, θέμις ὁ Ἰάκωβος.

*Θεοτοκίον.*

Λύτρωσιν Παρθένε διὰ σοῦ, ἐκ θανάτου τὸ γένος ἔσχε τὸ βρότειον, ὡς τὸν Υἱὸν τοῦ Θεοῦ, ὠδίνων Ἁγνὴ τῶν μητρικῶν, δίχα ἀπεκύησας.

*ᾨδὴ Δ΄ Ἐπὶ τῆς θείας φυλακῆς.*

Λουκᾶς ὁ πάνσοφος ἡμῖν, Εὐαγγελίων τὰς φωνάς, καὶ θεοκηρύκων ἐνθέους, Πράξεις ὑποτίθησι, ζωῆς οἱ ἐντυγχάνοντες, ταύταις τῆς ἀθανάτου καὶ θείας, πανεορτίοις ᾠδαῖς ἀνεφημήσωμεν.

ᾨδαῖς ἀσμάτων οἱ πιστοί, τὴν τοῦ Τελώνου κορυφήν, στέψωμεν Ματθαίου τοῦ θείου, κλεινοῦ Χριστοκήρυκος, τῷ ὑψηγόρως Πνεύματι, ῥήτρας Εὐαγγελίου Ἁγίῳ, τῇ ὑφηλίῳ, τρανῶς ἐκμελωδήσαντι.

Νεύσει τῇ θείᾳ ἐπιβάς, τῶν θρόνων Πόλεως Δαβίδ, θέμεθλος κλεινῶν ἡγητόρων, ὤφθη ὁ Ἰάκωβος, ὁ θεῖος Ἀδελφόθεος, οὗπερ ταῖς ἱκεσίαις ἐν πίστει, Χριστὸν τῶν πάντων Θεὸν ἱλεωσώμεθα.

*Θεοτοκίον.*



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

www.tezaurliturgic.ro



Ἀγγέλου Κόρη τὴν φωνήν, εἰσδεξαμένη τὸν Θεόν, Λόγον ἐν γαστρὶ συλλαβοῦσα, τοῦτον ἀπεκύησας, εἰς κόσμου ἀπολύτρωσιν, ὅνπερ τῶν Ἀποστόλων οἱ δῆμοι, τῇ οἰκουμένῃ τρανῶς εὐηγγελίσαντο.

*ᾨδὴ Ε´ Ὀρθρίσωμεν ὄρθρου.*

Ἰούδαν Ἀπόστολον πάντες, τὸν συγγραφέα λογίων τοῦ Πνεύματος ἀνυμνοῦμεν, τὸν τοῦ Λόγου κήρυκα, ἑδραίωμα τῆς πίστεως, καὶ θερμὸν τῶν πιστῶν ἀντιλήπτορα.

Ἡ δόξα Κυρίου ἀφθόνως, Εὐαγγελίου πυρσεύμασιν ἔλαμψεν ἐν τῷ κόσμῳ, τοῦ ἐνδόξου ῥήτορος, Μάρκου τοῦ θεοκήρυκος, ὀξυγράφου λογίων τοῦ Πνεύματος.

Σοφίαν τὴν ἄνω ποθήσας, Βαρθολομαῖος ὁ ἔμφρων Ἀπόστολος καθωράθη, ἁλιεὺς πανάριστος, ζωγρῶν τὴν θεοφύτευτον φύσιν ὃν πίστει ὑμνήσωμεν.

*Θεοτοκίον.*

Ῥητόρων Παρθένε αἱ γλῶσσαι, τῶν θεοπνεύστων σε λύσιν ἐκήρυξαν τοῖς ἐν κόσμῳ τοῦ ἀρχαίου πταίσματος, καὶ ὡς παλινδρόμησιν, πρὸς ζωὴν ἐκ θανάτου Πανήμνυτε.

*ᾨδὴ ΣΤ´ Κατῆλθες.*

Ὃν φόβῳ, πρώην Σίμων βὰρ Ἰωνᾶ, ἀπηρνήσω Ἰησοῦν, ἐν τοῖς πέρασι κόσμου, ἀνακηρύττεις Θεόν, ᾧ καὶ ἔκραζες, Ἰησοῦ Υἱὲ Θεοῦ, ἐσαεὶ νῦν φιλῶ σε.



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Ὑμνείσθω, ὁ τῆς δωδεκάδου χοροῦ, ἐναρίθμιος ᾠδαῖς, ἡ θεόφθογγος σάλπιγξ, ὁ οὐρανίῳ στολῇ, τὸν μελάρρινον, ἐπενδύσας τῷ Χριστῷ, Φίλιππος καὶ προσῆξε.

Μονάδι, φύσεως πιστεύειν Θεόν, καὶ προσώποις ἐν τρισί, οἱ αὐτόπται τοῦ Λόγου ἐμυσταγώγησαν, καὶ ἐδίδαξαν, Ἰσραὴλ τῷ ἐκλεκτῷ, καὶ τοῖς ἔθνεσι πᾶσι.

*Θεοτοκίον.*

Ἰδών σε, ἐν σταυρῷ Παρθένε Ἁγνή, ὁ Υἱός σου καὶ Θεός, τῷ Παρθένῳ καὶ φίλῳ, ἠγαπημένῳ φωνεῖ, ἰδοὺ λέγων σοι, ὁ Υἱός σου καὶ αὐτῷ, Μήτηρ αὕτη ἰδού σοι.

*ᾨδὴ Ζ΄ Ὁ παῖδας ἐκ καμίνου.*

Νηγεῖσαν τὴν πλευρὰν καὶ τοὺς μώλωπας, μελῶν σου ὁ δίδυμος ἔλεγε Θωμᾶς, ἐὰν μὴ ἴδω ἐμφανῶς, πιστευτέον οὐ θέμις τὴν ἔγερσιν, ἰδὼν δέ σε αὖθις ἐβόα, Θεός μου εἶ καὶ Κύριος.

Ἡ δύναμις τῶν λόγων σου ἔνδοξε, εἰς πᾶσαν διέδραμε, Σίμων Ζηλωτά, τὴν οἰκουμένην ἐμφανῶς, σαγηνεύουσα πλήθη Ἀπόστολε, τοὺς σὲ νῦν ὑμνολογοῦντας λιταῖς σου, Χριστῷ οἰκειοποίησον.

Ματθίαν τὸν τῆς κλήσεως ἄνωθεν, λαχόντα ὑμνήσωμεν, τῆς ἀποστολῆς, τὸν κλῆρον οὗτινος οἰκτρῶς, ὁ προδότης ἀρτίως ἐξέπεσε, τὸν Πνεύματος τῇ δυνάμει ἀνθρώποις, Χριστὸν εὐαγγελίσαντα.

*Θεοτοκίον.*



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Ὡραῖάν σε, ὁ Δεσπότης τῶν ὅλων, εὑρὼν κατεσκήνωσε, Κόρη Μαριάμ, διὰ τὸ σῶσαι ἐκ φθορᾶς, τοῦ θανάτου Ἁγνὴ τὸ ἀνθρώπινον, ὁ μόνος εὐλογητὸς τῶν Πατέρων, Θεὸς καὶ ὑπερένδοξος.

*ᾨδὴ Η΄ Αὕτη ἡ κλητή.*

Ἡ πανσθενουργός, Παρακλήτου ἡ χάρις, ἐξ ὕψους Ἀποστόλοις, ἐπιφοιτήσασα τούτους, θεοφθόγγους φωνάς, τοὺς ἐν σκότει καταυγάζοντας ἔδειξε, ὧνπερ γηθοσύνως, τὴν μνήμην ἐκτελοῦμεν.

Νεύματι χορός, θεαρχίῳ τὸ θεῖον, Μητρὸς τοῦ Θεοῦ Λόγου καταλαβὼν τὸ σκῆνος, Ἀποστόλων μολπαῖς, τῇ σεπτῇ Γεθσημανῇ κατατίθησι, τοῖς ἐνθέοις πόθῳ, καὶ ἐν ἀγαλλιάσει.

Μίαν φεραυγῆ, ἀνυμνοῦμεν δυάδα, ἀρχὴν τῶν ἁλιέων, τὸν Πέτρον καὶ τὸν Παῦλον, καὶ ἑτέραν ᾠδαῖς, ἀνυμνήσωμεν δυάδα τρισόλβιον, σὺν τῷ Ἰακώβῳ, τὸν θεῖον Ἰωάννην.

*Θεοτοκίον.*

Νάουσα πηγή, εὐσπλαγχνίας ὡς οὖσα, ὦ Μήτηρ τοῦ Δεσπότου, τὰς ἡμῶν ἱκεσίας, μὴ παρίδῃς Ἁγνή, ἀλλὰ χάρισαι τοῦ βίου διόρθωσιν, ἵνα σὲ ὑμνοῦμεν, εἰς πάντας τοὺς αἰῶνας.

*ᾨδὴ Θ΄ Φωτίζου φωτίζου.*

Ἐπέστη ἡμέρα, τῶν Ἀποστόλων ἑορτή, ἣν τελοῦντες ἐκ πόθου, ᾄσμασι κροτήσωμεν, Πέτρον χαρᾷ καὶ τὸν Παῦλον ὁμοῦ, καὶ τὸν βροντῆς, γόνον Ἰωάννην, Ἀνδρέαν τε τὸν Πρωτόκλητον.



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Λαμπρύνου καὶ τέρπου, ἡ Ἐκκλησία τοῦ Χριστοῦ, θεολόγων τελοῦσα, μνήμην πανεόρτιον, Μάρκου Λουκᾶ καὶ Ματθαίου λαμπρῶν, μυστολεκτῶν, τῶν Εὐαγγελίων, καὶ Ἰακώβου τοῦ μάκαρος.

Πυρσοὺς οὐρανίους, τὴν οἰκουμένην ἀστραπαῖς, δαδουχοῦντας ὑμνοῦμεν, τοὺς τοῦ Λόγου σήμερον, μύστας σοφούς, τὸν Θωμᾶν οἱ πιστοί, Σίμωνά τε, συνάμα Φιλίππῳ, Βαρθολομαῖον τὸν ἔνδοξον.

Ὦ σύνθρονε Λόγε, Πατρὸς καὶ Πνεύματος Θεέ, τῶν ἁπάντων πρεσβείαις, Ἀποστόλων δώρησαι, τῶν πειρασμῶν, λυτρωθῆναι νυνί, καὶ οὐρανῶν, καταξιωθῆναι, τῆς Βασιλείας τοὺς δούλους σου.

*Θεοτοκίον.*

Μακάριοι ὄντως, οἱ πεποιθότες ἐπὶ σέ, Θεοτόκε Παρθένε, μοναζόντων στήριγμα, Ὄρους τοῦ σοῦ, τοῦ Ἄθω Ἁγνή, ὅπερ ταῖς σαῖς φύλαττε πρεσβείαις, ὡς προστασία καὶ Ἔφορος.

*Προσόμοια. Χαίροις ἀσκητικῶν.*
*Ἦχος πλ.α΄*

Χαίροις ἡ δωδεκὰς ἡ σεπτή, ἡ μαθητεύσασα τῷ Λόγῳ καὶ Πνεύματος, πλησθεῖσα τοῦ Παναγίου, καὶ φωτοβόλοις αὐγαῖς, οὐρανίαις πᾶσαν τὴν ὑφήλιον, τῶν λόγων πυρσεύσασαν, καὶ φωτὶ καταστράψασαν, τῆς Τρισηλίου, καὶ ἀκτίστου Θεότητος, καὶ ἀνάθημα τῷ Χριστῷ σαγηνεύσασαν, ἧσπερ τὴν πανευφρόσυνον, τελοῦντες πανήγυριν, φιλαποστόλων χορεῖαι, πίστει καὶ πόθῳ βοήσωμεν, Χριστοῦ τὰ ἐλέη, ἱκεσίαις ὑμῶν ἔνδοξοι πρυτανεύσατε.

Πέτρον τὸν κορυφαίων ᾠδαῖς, ἐναρμονίοις, καὶ τὸν οὐρανοβάμονα, τὸν Παῦλον καὶ Ἰωάννην, ἔνδοξον γόνον βροντῆς, καὶ Ἀνδρέαν ἅμα, τὸν Πρωτόκλητον, τὸν θεῖον Ἰάκωβον, καὶ Ματθαίον τὸν πάνσοφον, Βαρθολομαῖον, τὸν Θωμᾶν καὶ τὸν Φίλιππον, καὶ τὸν Σίμωνα, τὸν Λουκᾶν καὶ τὸν Μάρκον ὁμοῦ, σήμερον μελωδήσωμεν, κροτοῦντες ἑόρτια, ἀγαλλιώμενοι τούτων, τῇ πανηγύρει καὶ λέγοντες, Ἀπόστολοι θεῖοι, τῷ Χριστῷ ἔλεος δοῦναι, ἡμῖν πρεσβεύσατε.

Φθόγγος ὑμῶν ὁ ἔνθους τὴν γῆν, εἰς πᾶσαν ὄντως, ψαλμικῶς καὶ τὰ ῥήματα, τὰ πέρατα διεξῆλθε, τῆς οἰκουμένης φωτί, τὰς κεχερσωμένας, διαλάμποντα, ψυχὰς καὶ φωτίζοντα, καὶ τῆς ἄνω ὀρέγεσθαι, τοῦ Θεανθρώπου, Βασιλείας Ἀπόστολοι, παμμακάριστοι, τῆς ἀλήκτου ἧς πάντας ἡμᾶς, Λόγος ὁ πολυεύσπλαγχνος, ὑμῶν καὶ Διδάσκαλος, καταξιῶσαι πρεσβείαις, ταῖς ἡμετέραις μὴ παύσησθε, αὐτὸς γὰρ ἀνθρώποις, πρεσβευτὰς ἀγρύπνους ἅγιοι ἐδωρήσατο.

Ἄνω τῷ Τρισηλίῳ φωτί, νῦν παρεστῶτες, φωτοφόροι Ἀπόστολοι, Ἀγγέλοις καὶ Ἀρχαγγέλοις, σὺν Χερουβὶμ Σεραφίμ, καὶ ταῖς Ἐξουσίαις, καὶ Δυνάμεσι, τοῖς Θρόνοις καὶ ταῖς Ἀρχαῖς, ἅμα τε Κυριότησι, καὶ τῶν ἁγίων, τῶν ἁπάντων τοῖς τάγμασι, καὶ Θεόπαιδι, τῇ Μητρὶ τοῦ Σωτῆρος Χριστοῦ, τοῦτον καθικετεύσατε, δωρήσασθαι ἄνεσιν, τοῖς ἀπελθοῦσιν ἐντεῦθεν, τῆς ἱερᾶς ἀδελφότητος, ἡμᾶς τε τῇ πίστει, τῶν Πατέρων στηριχθῆναι ἀεὶ μακάριοι.



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ